ἐσθίοντα ἐᾶσαι ἂν εἰσελθεῖν. ἀμέλει δὲ καὶ λογιζόμενος πρός τινα τῷ παιδὶ συντάξαι τὰς ψήφους διὰ θεῖναι καὶ κεφάλαιον ποιήσαντι γράψαι αὐτῷ εἰς λόγον. καὶ ἐπιστέλλων μὴ γράφειν, ὅτι ʽχαρίζοιο ἄν μοιʼ, ἀλλʼ ὅτι ʽβούλομαι γενέσθαιʼ καὶ ʽἀπέσταλκα πρὸς σὲ ληψόμενοςʼ καὶ ʽὅπως ἄλλως μὴ ἔσταιʼ καὶ ʽτὴν ταχίστηνʼ. *Ε (ΚΔ)*

## ΟΛΙΓΑΡΧΙΑΣ

Δόξειεν δʼ ἂν εἶναι ἡ ὀλιγαρχία ⟨φιλαρχία⟩ τις ἰσχυρῶς κέρδους γλιχομένη, ὁ δὲ ὀλιγαρχικὸς τοιοῦτός ⟨τις⟩, οἷος τοῦ δήμου βουλευομένου, τίνας τῷ ἄρχοντι προσαιρήσονται τῆς πομπῆς τοὺς συνεπιμελησομένους, παρελθὼν ἀποφήνασθαι, ὡς δεῖ αὐτοκράτορας τούτους εἶναι, κἂν ἄλλοι προβάλλωνται δέκα, λέγειν· ʽἱκανὸς εἷς ἐστι, τοῦτον δὲ ὅτι δεῖ ἄνδρα εἶναιʼ. καὶ τῶν ʽΟμήρου ἐπῶν τοῦτο ἓν μόνον κατέχειν, ὅτι ʽοὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστωʼ, τῶν δὲ ἄλλων μηδὲν ἐπίστασθαι. ἀμέλει δὲ δεινὸς τοῖς τοιούτοις τῶν λόγων χρήσασθαι, ὅτι δεῖ αὐτοὺς ἡμᾶς συνελθόντας περὶ τούτων βουλεύσασθαι καὶ ἐκ τοῦ ὄχλου καὶ τῆς ἀγορᾶς ἀπαλλαγῆναι καὶ παύσασθαι ἀρχαῖς πλησιάζοντας καὶ ὑπὸ τούτων αὐτους ὑβριζομένους ἢ τιμωμένουςʼ, ⟨καὶ⟩ ὅτι ʽἢ τούτους δεῖ ἢ ἡμᾶς οἰκεῖν τὴν πόλινʼ. καὶ τὸ μέσον δὲ τῆς ἡμέρας ἐξιὼν καὶ τὸ ἱμάτιον ἀναβεβλημένος καὶ μέσην κουρὰν κεκαρμένος καὶ ἀκριβῶς ἀπωνυχισμένος σοβεῖν τοὺς τοιούτους λόγους κατὰ τὴν τοῦ ʼΩιδείου· ʽδιὰ τοὺς συκοφάντας οὐκ οἰκητόν ἐστιν ἐν τῇ πόλειʼ, καὶ ὡς ʽἐν τοῖς δικαστηρίοις δεινὰ πάσχομεν ὑπὸ τῶν δεκαζο-